**ETA SIGMA PHI 74th Annual Greek Translation Contest (2023)**

**Koine Greek**

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

King Antiochus Persecutes the Jews in Judea

1 μετ᾽ ού πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα Ἀθηναῖον ἀναγκάζειν τοὺς Ιουδαίους μεταβαίνειν ἀπὸ τῶν πατρίων νόμων καὶ τοῖς τοῦ θεοῦ νόμοις μὴ πολιτεύεσθαι.
2 μολῦναι δὲ καὶ τὸν έν Ιεροσολύμοις νεὼ καὶ προσονομάσαι Διὸς Ὀλυμπίου καὶ τὸν έν Γαριζιν καθὼς ἐτύγχανον οἱ τὸν τόπον οἰκοῦντες Διὸς Ξενίου.
3 χαλεπὴ δὲ καὶ τοῖς ὅλοις ἦν δυσχερὴς ἡ ἐπίτασις τῆς κακίας.
4 τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ κώμων ὑπὸ τῶν ἐθνῶν ἐπεπληροῦτο ῥᾳθυμούντων μεθ᾽ ἑταιρῶν καὶ έν τοῖς ἱεροῖς περιβόλοις γυναιξὶ πλησιαζόντων ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον εἰσφερόντων.
5 τὸ δὲ θυσιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο.
6 ἦν δ᾽ οὔτε σαββατίζειν οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν οὔτε ἁπλῶς Ιουδαῖον ὁμολογεῖν εἶναι.
7 ἤγοντο δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ μῆνα τοῦ βασιλέως γενέθλιον ἡμέραν ἐπὶ σπλαγχνισμόν, γενομένης δὲ Διονυσίων ἑορτῆς ἠναγκάζοντο κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ.

ἐξαποστέλλω dispatch, send
μεταβαίνω change
πολιτεύομαι be governed by

μολύνω stain, defile, pollute
προσονομάζω call by name

δυσχερής hard to manage
ἐπίτασις tension, force

ἱερόν temple, sacred area
ἐπιπληρόω fill
ἀσωτία debauchery, depravity
πλησιάζω approach, have sexual intercourse
ῥᾳθυμέω be negligent, careless

περίβολος sacred enclosure
καθήκων fit, proper, suitable

θυσιαστήριον altar
ἀποδιαστέλλομαι be forbidden
ἀθέμιτος unlawful

σαββατίζω keep the Sabbath
ὁμολογέω admit

ἤγοντο They [Jews] were led
γενέθλιος ἡμέρα birthday
σπλαγχνισμός eating sacrificial innards
κισσός ivy
πομπεύω take part in a procession